ὅτι συνάντημα ἓν συναντήσεται τοῖς πᾶσιν αὐτοῖς.
15 καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου
Ὡς συνάντημα τοῦ ἄφρονος
καί γε ἐμοὶ συναντήσεταί μοι,
καὶ ἵνα τί ἐσοφισάμην;
ἐγὼ τότε περισσὸν ἐλάλησα ἐν καρδίᾳ μου,
διότι ἄφρων ἐκ περισσεύματος λαλεῖ,
ὅτι καί γε τοῦτο ματαιότης.
16 ὅτι οὐκ ἔστιν μνήμη τοῦ σοφοῦ
μετὰ τοῦ ἄφρονος εἰς αἰῶνα,
καθότι ἤδη αἱ ἡμέραι αἱ ἐρχόμεναι
τὰ πάντα ἐπελήσθη·
καὶ πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τοῦ ἄφρονος;
17 καὶ ἐμίσησα σὺν τὴν ζωήν,
ὅτι πονηρὸν ἐπ᾽ ἐμὲ τὸ ποίημα
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον,
ὅτι τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.
18 καὶ ἐμίσησα ἐγὼ σὺν πάντα μόχθον μου,
ὃν ἐγὼ μοχθῶ ὑπὸ τὸν ἥλιον,
ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γινομένῳ μετ᾽ ἐμέ·
19 καὶ τίς οἶδεν εἰ σοφὸς ἔσται ἢ ἄφρων;
καὶ ἐξουσιάζεται ἐν παντὶ μόχθῳ μου,
ᾧ ἐμόχθησα καὶ ᾧ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον.
καί γε τοῦτο ματαιότης.
20 καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τῇ καρδίᾳ μου
ἐπὶ παντὶ τῷ μόχθῳ, ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον,
21 ὅτι ἔστιν ἄνθρωπος, οὗ μόχθος αὐτοῦ
ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν ἀνδρείᾳ,
καὶ ἄνθρωπος, ὃς οὐκ ἐμόχθησεν ἐν αὐτῷ,
δώσει αὐτῷ μερίδα αὐτοῦ.
καί γε τοῦτο ματαιότης καὶ πονηρία μεγάλη.
22 ὅτι τί γίνεται τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ
καὶ ἐν προαιρέσει καρδίας αὐτοῦ,

15[3] μοι > S[c] | 15[4.5] εσοφισαμην, εγω τοτε] τοτε > BS*, εσοφ. εγω, εγω τοτε S[c] | 15[6]/15[7]] tr. B† | 15[6] αφρων] pr. ο B || 16[1] μνημη] pr. η S* | 16[2] αιωνα] pr. τον B* | 16[3] αι ημ. αι ερχ. pau.] αι ημ. ερχ. BS*, ταις ημεραις ταις επερχομεναις AS[c]†: item omisso επ Vcompl. | 16[5] ο > S || 17[1] συν: cf. 1 2 | 17[4] τα > B || 18[1] συμπαντα B: cf. 1 14 | μοχθον] pr. τον S | 18[2] μοχθω] κοπιω B | 18[3] γενησομενω A || 19[1] ει] η SA† | 19[2] και unus cod. et *O*La†] + ει rel. | 19[3] ω 2[0] > B*S* || 20[1] την καρδιαν B† | 20[2] επι] εν BS | τω μοχθω] μοχθω μου BS || 21[1] ου Gra.] οτι mss. | 21[3] ος S[c]] ω BS*, > A | 21[4] αυτω] -τον A || 22[1] τι unus cod.] > rel. | γιν.] + εν B | 22[2] προαιρ.] pr. τη S*